ἐνέργειαν ἡ ἐνέργεια τῆς αἰσθήσεως τῆς ἐχούσης ὄργανον. Ἡ αἰτία γοῦν τῆς τοιαύτης διαφορότητος ἐστίν, ὅτι τὸ αἰσθητικὸν οὐκ ἄνευ σώματος, ἀλλὰ ὁ νοῦς, κεχωρισμένος αὐτοῦ.

Ἐκ δὲ τῶν ἐνταῦθα λεγομένων φαίνεται τὸ ψεῦδος τῶν εἰπόντων τὸν νοῦν εἶναι δύναμιν εἰκαστικήν, ἢ φανταστικήν, ἢ προσπαρασκευήν τινα ἐν τῇ ἀνθρωπίνῃ φύσει, ἑπομένην τῇ κράσει ἢ τῇ συμπλοκῇ τοῦ σώματος. Ἀλλ' ἐκ τῆς τούτων αἰτίας τῶν ῥημάτων τινὲς εἰς τοσοῦτον ἠπάτηνται, ὥστε θεῖναι τὸν δυνάμει νοῦν κατὰ τὸ εἶναι κεχωρισμένον τοῦ σώματος, ὥσπερ μίαν τινὰ τῶν χωριστῶν οὐσιῶν, ὅπερ παντάπασιν ἀδύνατόν ἐστι. Φανερὸν γὰρ ὅτι ὅδε ὁ ἄνθρωπος νοεῖ. Εἰ γὰρ τοῦτο ἀρνηθείη, τότε ὁ λέγων ταύτην τὴν δόξαν οὐ νοεῖ τι, οὐδὲ ἔστιν ἀκουστέος. Εἰ δὲ νοεῖ, δεῖ τινι νοεῖν, εἰδικῶς διαλεγομένων ἡμῶν. Τοῦτο δέ ἐστιν ὁ δυνάμει νοῦς, περὶ οὗ φησιν ὁ Φιλόσοφος· Λέγω δὲ νοῦν, ᾧ διανοεῖται καὶ δοξάζει ἡ ψυχή. Ὁ τοίνυν δυνάμει νοῦς ἐστιν ᾧτινι ὁ ἄνθρωπος, εἰδικῶς χρωμένων ἡμῶν τῷ λόγῳ, νοεῖ· τὸ δὲ ᾧ τι ἐνεργεῖ ὡς ἀρχῇ ποιητικῇ, δύναται κατὰ τὸ εἶναι χωρίζεσθαι τοῦ ἐνεργοῦντος, ὡς ἐὰν λέγωμεν τὸ σκῆπτρον ἐνεργεῖν διὰ τοῦ βασιλέως, ἢ τὴν βακτηρίαν διὰ τοῦ ποιμένος διὰ τὸ τὸν ποιμένα κινεῖν αὐτὴν πρὸς τὴν ἐνέργειαν. Ἀλλ' ἀδύνατόν ἐστιν τὸ ᾧ τι εἰδικῶς ἐνεργεῖ χωρίζεσθαι αὐτοῦ κατὰ τὸ εἶναι, ὅπερ διὰ τοῦτ' ἔστι, διότι οὐδὲν ποιεῖ εἰ μὴ καθό ἐστιν ἐνεργείᾳ. Οὕτω τοίνυν εἰδικῶς τι ἐνεργεῖ, ὥσπερ αὐτῷ γίνεται ἐνεργείᾳ· οὐ γίνεται δέ τί τινι ἐνεργείᾳ ὄν, εἰ κεχωρισμένον ἐστὶν ἐκείνου κατὰ τὸ εἶναι. Ἀδύνατον τοίνυν τὸν δυνάμει νοῦν, ᾧ ὁ ἄνθρωπος νοεῖ, ποτὲ μὲν δυνάμει, ποτὲ δὲ ἐνεργείᾳ κεχωρισμένον εἶναι αὐτοῦ κατὰ τὸ εἶναι. Καὶ διὰ τοῦτο, τοῦτο κατανοοῦντες οἱ ταύτης τῆς θέσεως εὑρεταί, ἐπειράθησαν ἐφευρεῖν τινὰ τρόπον ᾧ τινι τὴν χωριστὴν ἐκείνην οὐσίαν, ἣν δυνάμει νοῦν λέγουσι, δυνατόν ἐστι συνεχίζεσθαι καὶ ἑνοῦσθαι ἡμῖν ὥστε οὕτω τὸ νοεῖν αὐτῆς εἶναι τὸ νοεῖν ἡμῶν. Φασὶ γὰρ τὸ νοητὸν εἶδος εἶναι εἶδος τοῦ δυνάμει νοῦ· διὰ γὰρ τούτου γίνεται ἐνεργείᾳ. Τούτου δὲ τοῦ εἴδους, τοῦ νοητοῦ δηλονότι, ὑποκείμενόν τι ἐστὶ φάντασμα ἐνυπάρχον ἡμῖν. Οὕτως οὖν φασι τὸν δυνάμει νοῦν συμπλέκεσθαι μεθ' ἡμῶν διὰ τοῦ ἰδίου εἴδους. Ἀλλὰ τοῦτο τὸ εἰρημένον οὐδεμίαν συνέχειαν τοῦ νοῦ πρὸς ἡμᾶς ἀποδείκνυσιν, καὶ τοῦτο δῆλον ἐντεῦθεν. Ὁ γὰρ δυνάμει νοῦς οὐκ ἔστιν ἓν μετὰ τοῦ νοητοῦ, εἰ μὴ καθό ἐστι τὸ νοητὸν ἐνεργείᾳ, ὥσπερ οὐδ' ἡ αἴσθησις ταὐτόν ἐστι μετὰ τοῦ δυνάμει αἰσθητοῦ, ὡς προείρηται. Τὸ τοίνυν νοητὸν εἶδος οὐκ ἔστιν εἶδος τοῦ δυνάμει νοῦ, εἰ μὴ καθό ἐστι νοητὸν ἐνεργείᾳ· οὐκ

---

6 sq. *κατὰ Ἀβερόου καὶ Ἀλεξάνδρου ταῦτα* en marge AB 12 *Δεῖ νοεῖν. εἰδικῶς διαλεγομένων ἡμῶν*: latin: *oportet quod aliquo formaliter intelligat.* 15-16 *ἀρχὴ ποιητικὴ* B 29 *ἡ ἐνέργεια* B *νοητοῦ*: *νοεῖν* B 34-36 *ὥσπερ— ἐνεργείᾳ* om B

ΙΩΑΝΝΙΝΑ 2006

ἔστι δὲ νοητὸν ἐνεργείᾳ, εἰ μὴ καθό ἐστιν ἀφῃρημένον ἐκ τῶν φαντασμάτων. Φανερὸν δέ ἐστιν ὅτι, καθὸ ἑνοῦται τῷ νῷ, ἔρημόν ἐστι καὶ πόρρω τῶν φαντασμάτων. Οὐκ ἄρα διὰ τούτου ἑνοῦται ὁ νοῦς ἡμῖν. Ἀλλὰ φανερόν ἐστιν ὅτι ὁ ἀρχηγὸς ταύτης τῆς θέσεως ἠπατήθη διὰ τοῦ παραλογισμοῦ τοῦ συμβεβηκότος, ἅτε οὑτωσὶ συλλογιζόμενος. Τὰ φαντάσματα εἰσὶ τρόπῳ τινὶ ἓν μετὰ τοῦ δυνάμει νοῦ. Ὁ ἄρα δυνάμει νοῦς ἑνοῦται τοῖς φαντάσμασι. Φανερὸν οὖν ὅτι ἐμπέπτωκεν εἰς τὸ σόφισμα τοῦ συμβεβηκότος, διότι τὸ νοητὸν εἶδος, καθό ἐστιν ἓν μετὰ τοῦ δυνάμει νοῦ, ἔστιν ἀφαιρεθὲν ἀπὸ τῶν φαντασμάτων, ὡς εἴρηται. Δεδομένου δὲ εἶναί τινα ἕνωσιν τοῦ δυνάμει νοῦ πρὸς ἡμᾶς διὰ τούτου τοῦ τρόπου, ὅμως ἡ τοιαύτη ἕνωσις οὐκ ἂν ἐποίει ἡμᾶς νοεῖν, ἀλλὰ μᾶλλον ὁ νοῦς· τοῦτο γὰρ οὗ ἐστιν ὁμοιότης τὸ εἶδος ἐν δυνάμει τινὶ γνωστικῇ τυγχάνον οὐκ ἐκ τούτου γίνεται τὸ γινῶσκον, ἀλλὰ μᾶλλον τὸ ἐγνωσμένον. Οὐδὲ f. 333 γὰρ διὰ τοῦ τὸ ἐν τῇ κόρῃ εἶδος εἶναι ὁμοιότητα τοῦ χρώματος, τοῦ ἐν τῷ τοίχῳ, τὸ χρῶμά ἐστιν ὁρῶν, ἀλλὰ μᾶλλον ὁρώμενον. Διὰ τοῦ τὸ εἶδος τοίνυν τὸ νοητόν, ὅπερ ἐστὶν ἐν τῷ δυνάμει νῷ, εἶναι ὁμοιότητα τινὰ τοῦ φαντάσματος, οὐχ ἕπεται ἡμᾶς εἶναι νοοῦντας, ἀλλ᾽ ἡμᾶς, ἢ μᾶλλον τὰ ἡμέτερα φαντάσματα, νενοῆσθαι ὑπ᾽ ἐκείνης τῆς χωριστῆς οὐσίας. Εἰσὶ δὲ καὶ πολλὰ ἄλλα, ἃ κατὰ τῆς θέσεως ταύτης δύνανται λέγεσθαι, ἅπερ ἀλλοθι ἀκριβέστερον διεπραγματευσάμεθα, ἀλλ᾽ ἐνταῦθα ἓν τοῦτο ἀρκεῖ, ὅτι τῇ θέσει ἕπεται ταύτῃ τὸ τουτονὶ τὸν ἄνθρωπον μὴ νοεῖν. Καὶ ἔτι φανερόν ἐστιν, ὅτι αὕτη ἡ θέσις ἐστὶ κατὰ τοῦ σκοποῦ τοῦ Ἀριστοτέλους, καὶ πρῶτον διότι ὁ Ἀριστοτέλης ἐνταῦθα ζητεῖ περὶ μέρους τῆς ψυχῆς. Οὕτω γὰρ ἄρχεται καὶ ταύτης τῆς πραγματείας· ὅθεν φανερόν ἐστιν, ὅτι ὁ δυνάμει νοῦς ἐστι μέρος τῆς ψυχῆς καὶ οὐκ ἔστιν οὐσία κεχωρισμένη. Ἔτι, καὶ ἐντεῦθεν ὅτι αὐτὸς προχωρεῖ ζητεῖν περὶ τοῦ νοῦ, εἴτε χωριστός ἐστι τῷ ὑποκειμένῳ τῶν ἄλλων μερῶν τῆς ψυχῆς, εἴτε καὶ μή· ὅθεν δῆλον ἐστίν, ὅτι ἡ προχώρησις αὐτοῦ ἔρρωται, κἂν ὁ νοῦς μὴ ᾖ χωριστὸς τῷ ὑποκειμένῳ τῶν ἄλλων μερῶν τῆς ψυχῆς. Ἔτι, δι᾽ οὗ φησίν, ὅτι νοῦς ἐστιν ᾧ ἡ ψυχὴ νοεῖ. Ταῦτα γὰρ πάντα δείκνυουσι τὸν Ἀριστοτέλην μήτε φρονῆσαι, μήτε εἰρηκέναι τὸν νοῦν εἶναι χωριστόν, ὥσπερ εἰσὶν αἱ χωρισταὶ οὐσίαι. Θαῦμα δέ ἐστι πῶς οὕτως εὐκόλως ἐπλανήθησαν ἐκ τοῦ τὸν Ἀριστοτέλην εἰπεῖν τὸν νοῦν εἶναι κεχωρισμένον, ἐπειδὴ ἐκ τοῦ κειμένου πάλιν τοῦ Ἀριστοτελικοῦ ὁ λόγος τούτου τοῦ νοῦ λαμβάνεται· λέγεται γὰρ κεχωρισμένος, διότι οὐκ ἔχει ὄργανον ὥσπερ ἡ αἴσθησις, καὶ τοῦτο συμβαίνει ἐκ τοῦ τὴν ἀνθρωπίνην ψυχὴν διὰ τὴν ἑαυτῆς εὐγένειαν ὑπερβαίνειν τὴν εὐπορίαν τῆς ὕλης καὶ μὴ δύνασθαι ὅλως ἐγκλείεσθαι ὑπ᾽ αὐτῆς.

---

4 *ἐστιν* om B  13 *τὸ γινόμενον* B  19 *δύναται* B  26 *ὅτι καὶ αὐτὸς* B  27 *καὶ* om B  31 *κεχωρισμένον* A  *εἰσὶν* om B  35 *οὐκ*: *μὴ* A

Ε.Υ.Δ.Π.Ε.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ὅθεν ὑπολείπεται αὐτῇ ἐνέργειά τις, ἐν ᾗ ἡ σωματικὴ ὕλη οὐ κοινωνεῖ, καὶ διὰ τοῦτο ἡ δύναμις ἐκείνης πρὸς ταύτην τὴν ἐνέργειαν οὐκ ἔχει σωματικὸν ὄργανον, καὶ οὕτως ὁ νοῦς ἔστι κεχωρισμένος.

## Leçon VIII.

Ὅταν δὲ ἕκαστα. Διορισάμενος ὁ Φιλόσοφος περὶ τοῦ δυνάμει νοῦ, ὅς ἐστιν ἐν δυνάμει πρὸς τὰ νοητά, ἐνταῦθα δείκνυσι πῶς εἰς ἐνέργειαν ἀνάγεται. Καὶ πρῶτον δείκνυσιν, ὅτι ὁ νοῦς ἐνίοτε ἐστὶν ἐνεργείᾳ· δεύτερον, δείκνυσι τί ἐστιν αὐτοῦ τὸ κυρίως ἀντικείμενον, οὗτινος τῇ ἀποβλέψει γίνεται ἐνεργείᾳ, ἐν τῷ· Ἐπεὶ δὲ ἄλλο ἐστὶ τὸ μέγεθος. Φησὶ τοίνυν, ὅτι εἴρηται τὴν νοηρὰν ψυχὴν μετέχειν ἐνεργείᾳ ἐν ἑαυτῇ τὰ εἴδη, ἀλλὰ δυνάμει μόνον. Ὅταν δὲ ἕκαστα οὕτω γένηται, τουτέστιν οὕτως ἀνάγονται εἰς τὴν ἐνέργειαν τῶν νοητῶν εἰδῶν ὥσπερ ὁ ἐπιστήμων, τουτέστιν ὥσπερ ὁ ἔχων τὴν ἕξιν τῆς ἐπιστήμης, ἔχει τὰ εἴδη ἐνεργείᾳ, τότε λέγεται νοῦς ὁ κατ' ἐνέργειαν. Τοῦτο δὲ συμβαίνει αὐτίκα ὁπόταν τις δύνηται δι' ἑαυτοῦ ἐνεργεῖν τὴν ἐνέργειαν τοῦ νοῦ, ἥτις ἐστὶ τὸ νοεῖν· οὕτω δὴ καὶ ὁποιονοῦν εἶδος τότε τις ἐνεργείᾳ ἔχει, ὅταν δύνηται τὴν ἐνέργειαν ἐκείνου τοῦ εἴδους ἐκπληροῦν. Ἀλλ' εἰ καὶ τότε ὁ νοῦς τρόπῳ τινὶ ἐστὶν ἐνεργείᾳ, ὅτε ἔχει τὰ εἴδη τὰ νοητὰ ὡς ὁ ἐπιστήμων ἔχει, ὅμως καὶ τότε τρόπον τινὰ ἐν δυνάμει ἐστίν, οὐ μέντοι γε τῷ αὐτῷ τρόπῳ ὥσπερ ἦν ἐν δυνάμει πρὸ τοῦ κτήσασθαι τὴν ἐπιστήμην ἢ μαθήσει, ἢ εὑρέσει. Πρὸ γὰρ τοῦ ἔχειν τὴν ἕξιν τῆς ἐπιστήμης, ἥτις ἐστὶ πρώτη ἐνέργεια, οὐκ ἠδύνατο ἐνεργεῖν βουλόμενος, ἀλλ' ἔδει ὑφ' ἑτέρου προβιβάζεσθαι εἰς τὴν ἐνέργειαν. Ὁπόταν δὲ ἤδη ἔχῃ τὴν ἕξιν τῆς ἐπιστήμης, ἥτις ἐστὶν ἐνέργεια πρώτη, δύναται, ἐπειδὰν θέλῃ, προϊέναι εἰς τὴν ἐνέργειαν, καθ' ἣν ἐστὶν ἡ ἐνέργεια εἴτουν ἡ ποίησις. Φανερὸν δέ ἐστιν ἐκ τῶν ἐνταῦθα λεγομένων ψευδῆ εἶναι τὴν Ἀβινσένου δόξαν καὶ κατὰ τῆς Ἀριστοτελικῆς δόξης, ἣν αὐτὸς Ἀβινσένας ἔσχε περὶ τῶν νοητῶν εἰδῶν. Τίθησι γὰρ Ἀβινσένας τὰ νοητὰ εἴδη μὴ φυλάττεσθαι ἐν τῷ δυνάμει νῷ μηδὲ εἶναι ἐν αὐτῷ, εἰ μὴ ὅταν ἐνεργείᾳ νοῇ, ἀλλὰ δεῖ κατ' αὐτόν, ὅταν ὁ νοῦς νοῇ ἐνεργείᾳ, ἐπιστρέφειν ἑαυτὸν πρὸς τὴν χωριστὴν νόησιν, ἐξ ἧς ἐπιρρέουσιν εἰς τὸν δυνάμει νοῦν τὰ εἴδη τὰ νοητά· καθ' οὗ δὴ ἐνταῦθα μάλιστα ἐναργῶς φησὶν ὁ Φιλόσοφος, ὅτι ὁ νοῦς ἀναχθεὶς εἰς τὴν ἐνέργειαν τῶν εἰδῶν τῷ τρόπῳ ᾧ ἡ ἐπιστήμη ἐνεργείᾳ ἐστίν, ἔτι δυνάμει νοῦς ἐστίν. Ὁπόταν γὰρ ὁ νοῦς ἐνεργείᾳ νοῇ, τὰ εἴδη τὰ νοητὰ εἰσὶ δήπου καὶ ἐν αὐτῷ κατὰ τελείαν ἐνέργειαν· ὁπόταν δὲ ἔχῃ τὴν ἕξιν τῆς ἐπιστήμης, εἰσὶ τὰ εἴδη ἐν τῷ νῷ κατά τινα τρόπον μέσον εἰλικρινοῦς τε

---

24 *τὴν ἕξιν* om B 27-28 *κατὰ τῆς Ἀβινσένου δόξης* en marge B 33 *Φιλόσοφος*: *Ἀριστοτέλης* B

ΨΗΦΙΟΠΟΙΗΘΗΚΕ ΑΠΟ ΤΟ ΕΡΓΑΣΤΗΡΙΟ ... ΙΩΑΝΝΙΝΩΝ ... Ε.Υ.Α της Κ.Υ.Π. ΙΩΑΝΝΙΝΑ 2006

δυνάμεως καὶ καθαρᾶς ἐνεργείας. | Καὶ διότι εἶπε τὸν νοῦν, τρόπῳ τινὶ f. 333v γινόμενον ἐνεργείᾳ ἕκαστα πρὸς ἃ ἦν ἐν δυνάμει, τότε νοεῖν δύνασθαι, πρὸς δὲ αὐτὸν μηδενὶ τρόπῳ εἶναι δυνάμει, ἠδύνατό τις ὑπολαμβάνειν ὅτι, γενόμενος ἐνεργείᾳ, οὐκ ἂν ἑαυτὸν νοοίη. Πρὸς τὸ τοίνυν ἐκβαλεῖν ταύτην τὴν ὑπόληψιν ἐπάγει, ὅτι ὁ νοῦς γενόμενος ἐνεργείᾳ οὐ μόνον τὰ ἄλλα δύναται νοεῖν, ἀλλὰ καὶ ἑαυτὸν τότε νοεῖν δύναται.

Ἐπεὶ δὲ ἄλλο ἐστὶ τὸ μέγεθος. Ἐνταῦθα δείκνυσιν ὁ Φιλόσοφος τί ἂν εἴη τὸ ὑποκείμενον τοῦ νοῦ. Καὶ πρὸς τὴν τούτου σαφήνειαν εἰδέναι δεῖ, ὅτι ὁ Φιλόσοφος ἐν ἑβδόμῳ τῶν μετὰ τὰ φυσικὰ ζητεῖ πότερον τὸ τί ἐστιν, εἴτουν ἡ ὕπαρξις ἢ ἡ ὀντότης τοῦ πράγματος, ἣν σημαίνει ὁ ὁρισμός, ἔστι ταὐτὸν αὐτῷ τῷ πράγματι. Καὶ διότι ὁ Πλάτων ἐτίθει τὰς τῶν πραγμάτων ὑπάρξεις κεχωρισμένας εἶναι τῶν μερικῶν, ἃς καὶ ἰδέας ἔλεγε καὶ εἴδη, διὰ τοῦτο δείκνυσιν ὅτι αἱ ὑπάρξεις τῶν πραγμάτων οὐκ εἰσὶν ἕτεραι παρ' αὐτὰ τὰ πράγματα εἰ μὴ κατὰ συμβεβηκός, οἷον ἡ ὕπαρξις τοῦ ἀνθρώπου, οἷον φέρε εἰπεῖν, οὐκ ἔστι ταὐτὸν ἡ ὕπαρξις τοῦ λευκοῦ ἀνθρώπου καὶ ὁ λευκὸς ἄνθρωπος, διότι ἡ ὕπαρξις τοῦ λευκοῦ ἀνθρώπου οὐ περιέχει ἐν ἑαυτῇ εἰ μὴ τὰ ἀνήκοντα πρὸς τὸ εἶδος τοῦ ἀνθρώπου. Ὁπόταν δὲ λέγω· Ἄνθρωπος λευκός, τοῦτο ἔχει τι πλέον ἐν ἑαυτῷ τῶν ἀνηκόντων τῷ τοῦ ἀνθρώπου εἴδει καὶ ὅπερ οὐκ ἔστιν ἐκ τοῦ εἴδους τοῦ ἀνθρώπου. Τοῦτο δὲ συμβαίνει ἐν πᾶσι τοῖς ἔχουσι τὸ εἶδος ἐν ὕλῃ, διότι ἐν αὐτοῖς ἔστι τι παρὰ τὰς τοῦ εἴδους ἀρχάς, ἡ γὰρ τοῦ εἴδους φύσις ἀτομίζεται διὰ τῆς ὕλης· ὅθεν αἱ ἀτομικαὶ ἀρχαὶ καὶ τὰ συμβεβηκότα τοῦ ἀτόμου εἰσὶ παρὰ τὴν οὐσίαν τοῦ εἴδους. Καὶ διὰ τοῦτο συμβαίνει ὑφ' ἓν εἶδος πλείω εὑρίσκεσθαι ἄτομα, ἅπερ, εἰ καὶ μὴ διαφέρουσιν ἐν τῇ φύσει τοῦ εἴδους, διαφέρουσι μέντοι κατὰ τὰς ἀτομικὰς ἀρχάς. Καὶ διὰ τοῦτο ἐν πᾶσι τοῖς ἔχουσιν εἶδος ἐν τῇ ὕλῃ οὐκ ἔστι παντάπασι ταὐτὸν τό τε πρᾶγμα καὶ τὸ τί ἐστιν αὐτοῦ· ὁ γὰρ Σωκράτης οὐκ ἔστιν ἡ ἀνθρωπότης αὐτοῦ. Ἐν δὲ τοῖς μὴ ἔχουσι τὸ εἶδος ἐν ὕλῃ, ἀλλ' εἴδεσιν ἁπλοῖς ὑπάρχουσιν οὐδὲν δύναται εἶναι παρὰ τὴν φύσιν τοῦ εἴδους, διότι αὐτὸ τὸ εἶδος ἐστὶν ὅλη ἡ οὐσία, καὶ διὰ τοῦτο ἐν τοῖς τοιούτοις οὐ δύνανται εἶναι πλείω ἄτομα ἑνὸς εἴδους, οὐδὲ δύναται ἐν αὐτοῖς διαφέρειν τό τε πρᾶγμα καὶ τὸ τί ἐστιν αὐτοῦ.

Δεῖ μέντοι γε θεωρεῖν, ὅτι οὐ μόνον τὰ φυσικὰ ἔχουσι τὸ εἶδος ἐν ὕλῃ, ἀλλὰ καὶ τὰ μαθηματικά· διπλῆ γάρ ἐστιν ἡ ὕλη, δηλονότι ἡ αἰσθητή, ἀφ' ἧς ἀφαιροῦσι τὰ μαθηματικὰ καὶ ἣν συγκρίνουσι τὰ φυσικά, καὶ ἡ νοητή, ἣν καὶ τὰ μαθηματικὰ συγκρίνουσιν· ὃ τούτῳ τῷ τρόπῳ δεῖ νοεῖν. Φανερὸν γάρ ἐστιν ὅτι ἡ ποσότης ἀμέσως ἐνίσχεται τῇ οὐσίᾳ· αἱ δὲ αἰσθηταὶ ποιότητες ἐν τῇ ποσότητι ἱδρύονται, οἷον τὸ λευκὸν καὶ μέ-

---

26 τὸ εἶδος B

ΙΩΑΝΝΙΝΑ 2006

λαν, τὸ θερμὸν καὶ ψυχρόν. Ἀναιρεθέντος δὲ τοῦ ὑστέρου, μένει τὸ πρότερον. Ὅθεν ἀναιρεθεισῶν τῶν αἰσθητῶν ποιοτήτων κατὰ τὸν νοῦν, ἡ συνεχὴς ποσότης ἔτι ἐν τῷ νῷ μένει. Εἰσὶν οὖν εἴδη τινά, ἅπερ ζητοῦσιν ὕλην ὑπὸ διωρισμένῃ διαθέσει τῶν αἰσθητῶν ποιοτήτων, καὶ τοιαῦτα εἰσὶ πάντα τὰ εἴδη τὰ φυσικά· καὶ διὰ τοῦτο τὰ φυσικὰ συγκρίνουσι τὴν αἰσθητὴν ὕλην. Εἰσὶ δέ τινα εἴδη, ἅπερ οὐ ζητοῦσιν ὕλην ὑπὸ διωρισμένῃ διαθέσει τῶν αἰσθητῶν ποιοτήτων, ζητοῦσι μέντοι γε ὕλην ἐν ποσότητι οὖσαν, ὥσπερ τὸ τρίγωνον καὶ τετράγωνον καὶ τὰ τοιαῦτα· καὶ ταῦτα τὰ εἴδη λέγονται μαθηματικά, καὶ ἀφαιροῦσιν ἀπὸ τῆς αἰσθητῆς ὕλης, ἀλλ' οὐκ ἀπὸ τῆς νοητῆς ὕλης, καθόσον μένει ἡ συνεχὴς ποσότης ἀφαιρεθεῖσα ἀπὸ πάσης αἰσθητῆς ποιότητος. Οὕτω τοίνυν φανερόν ἐστιν ὅτι, ὥσπερ τὰ φυσικὰ ἔχουσι τὸ εἶδος ἐν τῇ ὕλῃ, οὕτω καὶ τὰ μαθηματικά, καὶ διὰ τοῦτο ἔν τε τοῖς φυσικοῖς καὶ τοῖς μαθηματικοῖς ὁμοίως διαφέρει τό τε πρᾶγμα καὶ τὸ τί ἐστιν αὐτοῦ· ὅθεν ἐν ἑκατέροις εὑρίσκονται πλείω ὑφ' ἓν εἶδος ἄτομα. Ὥσπερ γάρ εἰσι πολλοὶ ἄνθρωποι ἑνὸς εἴδους, οὕτω καὶ πολλὰ τρίγωνα ὑφ' ἓν εἶδος. Τούτων τοίνυν προειλημμένων, ῥᾴδιόν ἐστι λαβεῖν ἐξ αὐτοῦ τοῦ γράμματος τὸν τοῦ Φιλοσόφου σκοπόν. Φησὶ γὰρ ὅτι ἄλλο ἐστὶ τὸ μέγεθος, καὶ τὸ μεγέθει εἶναι, οἷον ἄλλο ἐστὶ τὸ μέγεθος, καὶ ἄλλο τὸ τί ἐστιν αὐτοῦ· τὸ γὰρ εἶναι μεγέθει τὴν ὕπαρξιν τοῦ μεγέθους δηλοῦν βούλεται. Ὁμοίως ἄλλο ἐστὶ τὸ ὕδωρ, καὶ τὸ ὕδατι εἶναι. Οὕτω δὲ ἔχει καὶ ἐπὶ πολλῶν ἄλλων, τουτέστιν ἐπὶ πάντων τῶν μαθηματικῶν καὶ τῶν φυσικῶν. Ὅθεν ἐπισεσημασμένως δύο παραδείγματα τέθεικεν· μέγεθος μὲν γὰρ μαθηματικόν τί ἐστιν, ὕδωρ δὲ φυσικόν τι ὑπάρχει. Οὐκ ἐπὶ πάντων δὲ τοῦτο συμβαίνει· ἐν γὰρ τοῖς πάντῃ κεχωρισμένοις τῆς ὕλης ταὐτόν ἐστι τό τε πρᾶγμα καὶ τὸ τί ἐστιν αὐτοῦ. Καὶ διὰ τὸ τὰς χωριστὰς οὐσίας ἀγνώστους εἶναι ἡμῖν, οὐκ ἠδυνήθη
f. 334 | προσαγορεῦσαι ταύτας ἰδίοις ὀνόμασιν, ὥσπερ ὠνόμασε τὰ φυσικὰ καὶ μαθηματικά, ἀλλ' ὀνομάζει ταύτας ὑπὸ παραδείγματι τῶν φυσικῶν πραγμάτων, καὶ τοῦτ' ἔστιν ὅπερ ἐπάγει, ὅτι ἐπ' ἐνίων ταὐτόν ἐστι τὸ σαρκὶ εἶναι, καὶ σάρκα· ἐξ οὗ νοεῖται οὐχ ὅτι ταὐτόν ἐστιν ἥ τε σὰρξ καὶ τὸ τί ἐστιν αὐτῆς· οὐ γὰρ ἂν ἔλεγεν ἐπί τινων οὕτως εἶναι, ἀλλ' ἔλεγεν ὅτι ταὐτόν ἐστιν ἥ τε σὰρξ καὶ τὸ σαρκὶ εἶναι· ἀλλὰ νοεῖται ὅτι τοῦτο τὸ λεγόμενον· τί, καὶ τινί, οἷον ἐπὶ παραδείγματος ἡ σὰρξ καὶ τὸ σαρκὶ εἶναι, ταὐτόν ἐστιν ἐπ' ἐνίων, οἷον τῶν ἀπὸ τῆς ὕλης κεχωρισμένων. Καὶ ἐπειδὴ πρὸς τὰ διάφορα γνωστὰ διάφοροι γνωστικαὶ δυνάμεις ζητοῦνται, συμπεραίνει ὅτι ἡ ψυχὴ ἢ ἄλλῳ γινώσκει τὸ πρᾶγμα καὶ τὴν τοῦ πράγ-

---

4 *ὕλην*: *τινα* B  16 *προειρημένων* B  17 *Φιλοσόφου*: *Ἀριστοτέλους* B  20 *ἄλλο* avant *τὸ ὕδατι* add en interl. B  25 *τε* om B  28 *παραδειγμάτων* B *τῶν* om B  34 *ἀπὸ* om B  *ἐπὶ* après *οἷον* add B

Ε.Υ.Δ.Π.Κ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

ματος ὕπαρξιν, ἢ ἑνὶ μὲν καὶ τῷ αὐτῷ, ἄλλως δὲ ἔχοντι. Φανερὸν δέ ἐστιν, ὅτι ἡ σὰρξ οὐκ ἔστι χωρὶς ὕλης, ἀλλὰ τὸ εἶδος τῆς σαρκός ἐστιν εἶδος ἀφωρισμένον καὶ ἐν ὕλῃ ἀφωρισμένῃ αἰσθητῇ, ὥσπερ καὶ τὸ σιμὸν ἔχει ὑποκείμενον αἰσθητὸν ἀφωρισμένον, δηλονότι τὴν ῥῖνα. Ταύτην γοῦν τὴν αἰσθητὴν ὕλην γινώσκει ἡ ψυχὴ διὰ τῆς αἰσθήσεως, καὶ τοῦτ᾽ ἔστιν ὅπερ ἐπάγει, ὅτι ἡ ψυχὴ κρίνει τῇ αἰσθητικῇ δυνάμει τὸ θερμὸν καὶ ψυχρὸν καὶ τ᾽ ἄλλα τὰ τοιαῦτα, ὧν λόγος τίς ἐστιν ἡ σάρξ, τουτέστιν ἀναλογία. Τὸ γὰρ τῆς σαρκὸς εἶδος ζητεῖ διωρισμένην ἀναλογίαν τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ τῶν ἄλλων τῶν τοιούτων, ἀλλὰ τὸ εἶναι σαρκί, τουτέστι τὸ τί ἐστι τῆς σαρκός, τὴν ψυχὴν ἑτέρᾳ δυνάμει δεῖ διακρίνειν. Τοῦτο δὲ ἐνδέχεται διχῶς· ἕνα μὲν τρόπον, ὥστε αὐτὴν τὴν σάρκα καὶ τὴν ὕπαρξιν τῆς σαρκὸς γινώσκεσθαι δυνάμεσι παντάπασιν ἀλλήλων διαφερούσαις, οἷον τῇ μὲν αἰσθητικῇ δυνάμει τὴν σάρκα γινώσκεσθαι, τῇ δὲ νοερᾷ τὴν ὕπαρξιν τῆς σαρκός. Καὶ τοῦτο συμβαίνει, ὁπότε ἡ ψυχὴ καθαυτὸ γινώσκει τὸ μερικὸν καὶ καθαυτὴν τὴν φύσιν τοῦ εἴδους. Ἄλλον δὲ τρόπον ἐνδέχεται γινώσκεσθαι ἑτέρῳ μὲν τὴν σάρκα, ἑτέρῳ δὲ τὸ τί ἐστι τῆς σαρκός, οὐχ ὥστε εἶναι ἑτέραν καὶ ἑτέραν δύναμιν, ἀλλ᾽ ὥστε μίαν καὶ τὴν αὐτὴν δύναμιν ἑτέρῳ τρόπῳ καὶ ἑτέρῳ γινώσκειν τήν τε σάρκα καὶ τὸ τί ἐστιν αὐτῆς. Καὶ τοῦτο δεῖ γίνεσθαι, ὁπόταν ἡ ψυχὴ παραβάλλῃ τὸ καθόλου πρὸς τὸ μερικόν. Ὥσπερ γὰρ ἐλέγετο πρότερον μὴ ἂν ἡμᾶς δύνασθαι αἰσθάνεσθαι τῆς διαφορᾶς τοῦ λευκοῦ καὶ γλυκέος, εἰ μὴ ἦν μία δύναμις αἰσθητικὴ κοινὴ ἡ γινώσκουσα ἑκάτερον, οὕτως οὐδ᾽ ἂν ἠδυνάμεθα γινώσκειν τὴν παράθεσιν τοῦ καθόλου πρὸς τὸ μερικόν, εἰ μὴ ἦν μία δύναμις ἡ γινώσκουσα ἑκάτερον. Ὁ νοῦς τοίνυν ἑκάτερον γινώσκει ἀλλ᾽ ἑτέρῳ καὶ ἑτέρῳ τρόπῳ. Γινώσκει γὰρ τὴν φύσιν τοῦ εἴδους, εἴτουν τὸ τί ἐστιν, κατ᾽ εὐθεῖαν ἐκτείνων ἑαυτὸν πρὸς αὐτήν, αὐτὸ δὲ τὸ μερικὸν διά τινος κλάσεως ἢ καμπῆς, καθόσον ἐπάνεισιν ἐπὶ τὰ φαντάσματα, ἀφ᾽ ὧν τὰ νοητὰ εἴδη ἀφαιροῦνται. Καὶ τοῦτ᾽ ἔστιν ὅ φησιν, ὅτι τῷ αἰσθητικῷ γινώσκων τὴν σάρκα ἑτέρῳ, τουτέστιν ἄλλῃ δυνάμει τῆς ψυχῆς, διακρίνει τὸ εἶναι σαρκί, τουτέστι τὸ τί ἐστι τῆς σαρκός, ἤτοι χωριστῷ, ὡς ὅταν ἡ μὲν σὰρξ γινώσκηται τῇ αἰσθήσει, τὸ δὲ εἶναι σαρκὶ γινώσκηται τῷ νῷ· ἢ τῷ αὐτῷ ἄλλως ἔχοντι, δηλονότι ὥσπερ ἡ κεκλασμένη ἔχει πρὸς ἑαυτήν, ὅταν ἐκταθῇ, ὅτι ἡ αὐτὴ οὖσα εὐθεῖα μέν ἐστιν ἐκτεινομένη, κεκλασμένη δέ, καμπτομένη. Οὕτω καὶ ἡ νοερὰ ψυχή, ἐκτεινομένη μὲν διακρίνει τὸ εἶναι σαρκί, τουτέστι κατ᾽ εὐθεῖαν καταλαμβάνει τὴν ὕπαρξιν τῆς σαρκὸς ἐπανακάμπτουσα δέ, αὐτὴν τὴν σάρκα.

Πάλιν ἐπὶ τῶν. Ὅπερ εἶπεν ἀνωτέρω περὶ τῶν φυσικῶν, ἐξη-

15-16 *ἄλλῳ δὲ τρόπῳ* B  32 *ὥσπερ*: *ὅταν* B  33 *ἔχῃ* B  37 *Ὅπερ*: *Ὥσπερ* B

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

γεῖται νῦν ἐπὶ τῶν μαθηματικῶν, λέγων ὅτι πάλιν ἐπὶ τῶν ἐξ ἀφαιρέσεως, τουτέστι τῶν μαθηματικῶν, ὧν ὁ λόγος ἢ ἡ φύσις ἀπὸ τῆς αἰσθητῆς ἀφαιρεῖται ὕλης, τὸ εὐθὺ ἔχει ὡς τὸ σιμόν, τουτέστι τὰ μαθηματικὰ ἔχουσιν ὕλην ὥσπερ καὶ τὰ φυσικά. Τὸ γὰρ εὐθὺ μαθηματικόν ἐστι· τὸ δὲ σιμόν, φυσικόν. Καὶ ἔστιν ὅτε λόγος τοῦ εὐθέος μετὰ τοῦ συνεχοῦς, ὥσπερ ὁ τοῦ σιμοῦ λόγος μετὰ τῆς ῥινός· τὸ δὲ συνεχές ἐστιν ὕλη νοητή, καὶ τὸ σιμὸν ὕλη αἰσθητή. Ὅθεν φανερόν ἐστιν ὅτι ἐν τοῖς μαθηματικοῖς ἄλλο ἐστὶ τὸ πρᾶγμα, καὶ τὸ τί ἦν εἶναι τοῦ πράγματος, οἷον τὸ εὐθὺ καὶ τὸ εὐθεῖ εἶναι· ὅθεν δεῖ ἄλλῳ μὲν γινώσκειν τὸ τί ἦν εἶναι τούτων, ἄλλῳ δὲ αὐτά. Καὶ ὑποθώμεθα πρὸς τὸ παρόν, παραδείγματος χάριν, εἶναι δυάδα τὸ τί ἦν εἶναι τῆς εὐθείας γραμμῆς· ὁ γὰρ Πλάτων ἐτίθει ἀριθμοὺς εἶναι τὰ εἴδη καὶ τὰς ὑπάρξεις τῶν μαθηματικῶν, οἷον τὴν μονάδα, τῆς στιγμῆς, καὶ τὴν δυάδα, τῆς εὐθείας γραμμῆς, ὡσαύτως δὲ
f. 334v καὶ ἐπὶ τῶν ἄλλων. | Δεῖ τοίνυν τὴν ψυχὴν ἢ ἄλλῳ καὶ ἄλλῳ γινώσκειν αὐτά τε τὰ μαθηματικὰ καὶ τὰς ὑπάρξεις αὐτῶν, ἢ τῷ αὐτῷ ἄλλως ἔχοντι. Ὅθεν, ὥσπερ διὰ τῶν φυσικῶν δείκνυται τὸν νοῦν τὸν γινώσκοντα τὰς ὑπάρξεις τῶν φυσικῶν εἶναι ἕτερον παρὰ τὴν αἴσθησιν τὴν γινώσκουσαν αὐτὰ τὰ φυσικὰ τὰ καθέκαστον, οὕτω καὶ ἐκ τῶν μαθηματικῶν δείκνυται, ὅτι ὁ νοῦς ὁ γινώσκων τὸ τί ἐστιν αὐτῶν, ἔστιν ἕτερον τῆς φανταστικῆς δυνάμεως τῆς ἀντιλαμβανομένης αὐτῶν, τῶν μαθηματικῶν. Καὶ ἐπειδὴ δυνατὸν ἦν ὑπολαβεῖν τινά, ὅτι τῷ αὐτῷ τρόπῳ νοοῖντ' ἂν τὰ μαθηματικὰ καὶ τὰ φυσικά, ἐπάγει ὅτι, ὥσπερ τὰ πράγματα εἰσὶ χωριστὰ ἀπὸ τῆς ὕλης, οὕτως ἔχουσι καὶ πρὸς τὸν νοῦν. Ὅθεν ὅσα κατὰ τὸ εἶναι χωριστά ἐστι τῆς ὕλης, μόνῳ τῷ νῷ καταλαμβάνεσθαι δύνανται· ὅσα δὲ οὐκ εἰσὶ χωριστὰ τῆς αἰσθητῆς ὕλης κατὰ τὸ εἶναι, ἀλλὰ κατὰ τὸν λόγον, νοοῦνται τῆς αἰσθητῆς ὕλης χωρίς, οὐχὶ δὲ καὶ χωρὶς τῆς νοητῆς ὕλης. Τὰ δὲ φυσικὰ νοοῦνται κατὰ ἀφαίρεσιν τῆς ἀτομικῆς ὕλης, οὐχὶ δὲ καὶ κατὰ ἀφαίρεσιν τῆς αἰσθητῆς ὕλης καθόλου. Νοεῖται γὰρ ὁ ἄνθρωπος ὡς σύνθετος ἐκ σαρκῶν καὶ ὀστέων, κατὰ ἀφαίρεσιν μέντοι τῶνδε τῶν σαρκῶν καὶ τῶνδε ὀστέων. Κἀντεῦθεν ἐστίν, ὅτι ὁ νοῦς οὐ γινώσκει κατ' εὐθεῖαν τὰ μερικά, ἀλλ' ἡ αἴσθησις, ἢ ἡ φαντασία. Φαίνεται δὲ ἐντεῦθεν καὶ ὅ φησιν ἐνταῦθα ὁ Φιλόσοφος, ὅτι τὸ ἴδιον ἀντικείμενον τοῦ νοῦ ἐστὶν ἡ ὕπαρξις τοῦ πράγματος καὶ ἡ ὀντότης, ἥτις οὐ κεχώρισται τῶν πραγμάτων, ὡς οἱ Πλατωνικοὶ ἐτίθεντο. Ὅθεν τὸ ἀντικείμενον τοῦ ἡμετέρου νοῦ οὐκ ἔστι τι ἔξω τῶν αἰσθητῶν πραγμάτων ὑφεστώς, ὡς οἱ Πλατωνικοὶ ἐδόξασαν, ἀλλά τι ἐν τοῖς αἰσθητοῖς πράγμασιν ὑπάρχον, εἰ καὶ ὁ νοῦς καταλαμβάνει τὰς τῶν πραγμάτων ὑπάρξεις ἄλλῳ τρόπῳ ἢ ὡς αὐταὶ εἰσὶν ἐν τοῖς αἰσθητοῖς πράγμασιν· οὐ γὰρ καταλαμβάνει τὰ πράγματα μετὰ

---

**24** *δύναται* B **34** *ἐτίθεσαν* B **35** *ὑφεστώς* om B **36** *ἐδόξασαν*: *ἐτίθεσαν* B

Ευ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῶν ἀτομικῶν ἰδιοτήτων, αἵτινες αὐτοῖς ἐν τοῖς αἰσθητοῖς συνεζευγμέναι εἰσί, καὶ τοῦτο χωρὶς ψεύδους τινὸς τοῦ νοῦ καὶ ἀπάτης συμβαίνειν δύναται· οὐδὲν γὰρ κωλύει δύο τινῶν συνημμένων ἀλλήλοις νοεῖσθαι θάτερον ἄνευ τοῦ νοεῖσθαι καὶ θάτερον, ὥσπερ ἡ ὄψις ἀντιλαμβάνεται τοῦ χρώματος χωρὶς τοῦ ἀντιλαμβάνεσθαι τῆς ὀσμῆς, οὐ μέντοι χωρὶς τοῦ ἀντιλαμβάνεσθαι τοῦ μεγέθους, ὅπερ ἐστὶν ἴδιον ἀντικείμενον τοῦ χρώματος. Ὅθεν καὶ ὁ νοῦς δύναται νοεῖν εἶδός τι χωρὶς τῶν ἀτομιζουσῶν ἀρχῶν, οὐ μέντοι γε χωρὶς τῆς ὕλης, ἧς ἤρτηται ὁ τοῦ εἴδους αὐτοῦ λόγος, ὥσπερ οὐ δύναται νοεῖν τὸ σιμὸν ἄνευ τῆς ῥινός, ἀλλὰ τὸ γρυπὸν χωρὶς τῆς ῥινὸς νοεῖν δύναται.

Καὶ τοῦτο μὴ διακρίνοντες οἱ Πλατωνικοί, ἐτίθεντο τὰ μαθηματικὰ καὶ τὰς τῶν πραγμάτων ὑπάρξεις κεχωρισμένας ἐν τῷ εἶναι, ὥσπερ εἰσὶ κεχωρισμέναι ἐν τῷ νῷ. Φανερὸν δέ ἐστι καὶ ὅτι τὰ νοητὰ εἴδη, οἷς ὁ δυνάμει νοῦς ἐνεργείᾳ γίνεται, οὐκ εἰσὶν ἀντικείμενον τοῦ νοῦ· οὐ γὰρ ἔχουσι πρὸς τὸν νοῦν ὡς τὸ νοούμενον, ἀλλ' ὡς τὸ ᾧ νοεῖ ὁ νοῦς, ὥσπερ καὶ τὰ εἴδη τὰ ἐν τῇ ὄψει οὐκ εἰσὶ τὸ ὁρώμενον, ἀλλὰ τὸ ᾧ ἡ ὄψις ὁρᾷ· τὸ δὲ ὁρώμενον ἐστὶ τὸ χρῶμα τὸ ἐν τῷ σώματι. Ὡσαύτως καὶ τὸ ὑπὸ τοῦ νοῦ νοούμενόν ἐστιν ἡ ὕπαρξις, ἡ ἐν τοῖς πράγμασι, καὶ οὐ τὸ νοητὸν εἶδος, εἰ μὴ καθόσον ὁ νοῦς εἰς ἑαυτὸν ἀνακάμπτει. Φανερὸν γάρ ἐστιν, ὅτι αἱ ἐπιστῆμαι εἰσὶ περὶ τῶν ὑπὸ τοῦ νοῦ νοουμένων· αἱ δὲ ἐπιστῆμαι περὶ τῶν πραγμάτων εἰσίν, οὐ μὴν περὶ τῶν εἰδῶν ἢ τῶν ἐπινοιῶν τῶν νοητῶν, εἰ μὴ μόνη ἡ λογικὴ ἐπιστήμη. Ὅθεν δῆλόν ἐστιν, ὅτι τὸ νοητὸν εἶδος οὐχ ὑπάρχει τοῦ νοῦ ἀντικείμενον, ἀλλ' ἡ ὕπαρξις τοῦ νοητοῦ πράγματος, ἐξ οὗ δείκνυται καὶ μάταιον εἶναι τὸν λόγον τῶν βουλομένων δεικνύειν τὸν δυνάμει νοῦν ἕνα εἶναι ἐν πᾶσι διὰ τὸ ἓν εἶναι τὸ νοούμενον ὑπὸ πάντων· ἐδέησε γὰρ ἂν πλείω τῷ ἀριθμῷ εἶναι τὰ νοητὰ εἴδη, εἰ ἦσαν πλείους οἱ νοῖ· οὐ γάρ ἐστι τὸ νοητὸν εἶδος αὐτὸ τὸ νοούμενον, ἀλλ' ὁμοιότης αὐτοῦ ἐν τῇ ψυχῇ· καὶ διὰ τοῦτο, ἐὰν ὦσι πλείους οἱ νοῖ ἔχοντες ὁμοιότητα ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματος, ἔσται τὸ αὐτὸ πρᾶγμα νοούμενον παρὰ πᾶσι. Καὶ διὰ τοῦτο φανερόν ἐστιν, ὅτι καὶ αἱ χωρισταὶ οὐσίαι νοοῦσι τὰς ὑπάρξεις τῶν φυσικῶν πραγμάτων, ἃς ἡμεῖς νῦν νοοῦμεν, καὶ ὅμως οἱ νοῖ αὐτῶν διάφοροι εἰσίν· ὅθεν εἰ ὁ λόγος αὐτῶν δραστήριος ἦν, οὐκ ἂν ἠδύναντο φυγεῖν τὸ ἄτοπον, ὃ συμπεραίνουσιν ἐκ τῆς | αὐτῶν f. 335 θέσεως, ἐκ τοῦ ἕνα δηλονότι εἶναι τὸν νοῦν ἐν πᾶσιν ἀνθρώποις. Οὐ γὰρ δύνανται τιθέναι ἕνα νοῦν εἶναι ἐν ἅπασι τοῖς νοοῦσιν.

---

7 *εἶδος* om B 35 *δύναται* B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Leçon IX.

Ἀπορήσειε δ' ἄν τις. Δείξας ὁ Φιλόσοφος τὴν φύσιν τοῦ δυνάμει νοῦ καὶ τὸ τούτου ἀντικείμενον, ἐνταῦθα κινεῖ τινας ἀπορίας περὶ τὰ προδιωρισμένα καὶ διαιρεῖται εἰς μέρη δύο· ἐν τῷ πρώτῳ κινεῖ τὰς ἀπορίας· ἐν τῷ δευτέρῳ λύει αὐτάς, ἐν τῷ· Ἢ τὸ μὲν πάσχειν· κινεῖ δὲ πρῶτον δύο ἀπορίας, ὧν ἡ πρώτη αὕτη ἐστίν, ἡ δὲ δευτέρα, ἐν τῷ· Ἔτι δ' εἰ νοητός. Ἔστι τοίνυν ἡ πρώτη ἀπορία τοιαύτη. Εἰ ὁ νοῦς ἁπλοῦς ἐστι καὶ ἀπαθὴς καὶ οὐδὲν ἔχον οὐδενὶ κοινόν, ὡς Ἀναξαγόρας φησί, πῶς ὁ νοῦς δύναται νοεῖν, ἐπεὶ τὸ νοεῖν πάσχειν τί ἐστι, καὶ ἐκ τοῦ λόγου τοῦ πάσχοντος εἶναι δοκεῖ τὸ ἔχειν τι κοινὸν μετὰ τοῦ ποιοῦντος, διότι ἐφόσον τι κοινόν ἐστιν ἀμφοτέροις, τῷ ποιοῦντι δηλονότι καὶ τῷ πάσχοντι, δοκεῖ τὸ μὲν ποιεῖν, τὸ δὲ πάσχειν· δεῖ γὰρ δήπου τὰ ποιοῦντα καὶ τὰ πάσχοντα κοινωνεῖν ἀλλήλοις ἐν τῇ ὕλῃ, ὡς ἐν τῷ πρώτῳ περὶ γενέσεως λέγεται. Εἶτα τίθησι τὴν δευτέραν ἀπορίαν, ἐν τῷ· Ἔτι δ' εἰ νοητός. Καὶ αὕτη ἡ ἀπορία ἀναφύεται ἐξ ὧν προέλεγεν, ὅτι ὁ νοῦς γενόμενος ἐνεργείᾳ καὶ ἑαυτὸν νοεῖ, καὶ ἔστιν ἡ ἀπορία τοιαύτη. Εἰ ὁ νοῦς νοητός ἐστι, τοῦτο δυσὶ τρόποις συμβαίνειν δύναται· ἑνὶ μέν, ὥστε εἶναι νοητὸν καθαυτόν, καὶ οὐ κατ' ἄλλο· ἑτέρῳ δὲ τρόπῳ, ὥστε ἔχειν τι συνημμένον ἑαυτῷ, ὅπερ ποιοίη ἂν αὐτὸν νοητόν. Εἰ μὲν οὖν καθαυτόν ἐστι νοητός, καὶ οὐ δι' ἄλλο, τὸ δὲ νοητόν, καθὸ τοιοῦτον, ἐστὶν ἓν τῷ εἴδει, ἕψεται, εἰ μὴ μόνον τὸ νοούμενον ὑπὸ τοῦ νοῦ, ἀλλὰ καὶ αὐτός ἐστι νοητός, ὅτι καὶ τὰ ἄλλα νοητὰ νοῦς ἔσονται, καὶ οὕτω πάντα τὰ νοητὰ νοήσουσιν. Εἰ δὲ αὖ νοητός ἐστι διὰ τὸ ἔχειν τι συνημμένον ἑαυτῷ, ὡς εἴρηται, ἕψεται ἔχειν τι αὐτὸν ἕτερον, ὃ ποιοίη ἂν αὐτὸν νοητόν, ὥσπερ καὶ τὰ ἄλλα τὰ νοούμενα, καὶ οὕτω δοκεῖ ταὐτὸν ἕπεσθαι, ὅπερ καὶ πρότερον, δηλονότι ἀεὶ νοούμενον πᾶν καὶ αὐτὸ νοοῦν εἶναι καὶ νοεῖν.

Ἐφεξῆς λέγων· Ἢ τὸ μὲν πάσχειν, λύει τὰς προεκτεθειμένας ἀπορίας, καὶ πρῶτον τὴν πρώτην λέγων ὅτι, ὡς διῄρηται πρότερον τὸ πάσχειν, ὅτε ἐπραγματευόμεθα περὶ τῆς αἰσθήσεως, τὸ πάσχειν λέγεται κατά τι κοινόν, τουτέστι τὸ πάσχειν κοινόν ἐστι πρός τε τὰ πάθη, ἅπερ εἰσὶν εἰς τὰς ἐναντίας διαθέσεις, ὥσπερ ἐστὶ τὸ ἐν τοῖς φυσικοῖς πράγμασιν ἀμοιβαῖον πάθος τοῖς κοινωνοῦσιν ἐν τῇ ὕλῃ, καὶ πρὸς τὸ πάσχειν, ὃ λέγεται κατὰ πρόσληψιν μόνον. Ὁ νοῦς τοίνυν λέγεται πάσχειν, καθόσον ἐστὶ τρόπῳ τινὶ ἐν δυνάμει πρὸς τὰ νοητὰ καὶ οὐδέν ἐστιν αὐτῶν ἐνεργείᾳ πρὸ τοῦ νοεῖν. Δεῖ δὲ οὕτως εἶναι, ὥσπερ συμβαίνει ἐν τῷ πίνακι εἴτουν τῷ γραμματείῳ, ἐν ᾧ οὐδέν ἐστιν ἐνεργείᾳ γεγραμμένον, δύνανται μέντοι πολλὰ γράφεσθαι. Τοῦτο δὲ συμβαίνει καὶ ἐπὶ τοῦ δυνάμει νοῦ, ὅτι οὐδὲν τῶν νοητῶν ἔστιν ἐν αὐτῷ ἐνεργείᾳ ἀλλ' ἐν δυνάμει μόνον. Καὶ διὰ τούτου

23 *αὖ νοητός*: *ἀνόητος* B *ἐν* avant *ἑαυτῷ* add B

Ε.Υ.Δ της Κ.Τ.Μ ΙΩΑΝΝΙΝΑ 2006

ἀποκλείεται ἥ τε τῶν ἀρχαίων φυσικῶν δόξα, τιθέντων τὴν ψυχὴν συντεθεῖσθαι ἐκ πάντων, ἵνα νοῇ πάντα, καὶ ἡ τοῦ Πλάτωνος, ὃς ἐτίθετο φύσει τὴν ἀνθρωπίνην ψυχὴν ἔχειν πάντων τὴν ἐπιστήμην, ἀλλ' ἐπιλανθανομένην τρόπῳ τινὶ διὰ τὸ οἷον ἐπιπροσθεῖσθαι τῷ σώματι ἑνουμένην αὐτῇ, αὖθις ἀναμιμνήσκεσθαι· διὸ καὶ ἔλεγε τὸ μανθάνειν οὐδὲν εἶναι ἄλλο ἢ ἀναμιμνήσκεσθαι.

Εἶτα λέγων· Καὶ αὐτὸς δὲ νοητός ἐστι, λύει τὴν δευτέραν ἀπορίαν· καὶ πρῶτον λύει τὸ ζήτημα· δεύτερον, ἀποκρίνεται πρὸς ἀντίθεσιν εἰς τοὐναντίον πεποιημένην, ἐν τῷ· Τοῦ δὲ μὴ ἀεὶ νοεῖν. Φησὶ τοίνυν, πρῶτον, ὅτι ὁ δυνάμει νοῦς ἐστὶ νοητὸς οὐ κατὰ τὴν ἰδίαν οὐσίαν, ἀλλὰ κατά τι εἶδος νοητόν, ὥσπερ καὶ τὰ ἄλλα νοητά, ὃ δείκνυσιν ἐκ τοῦ τὸ ἐνεργείᾳ νοητὸν καὶ τὸν ἐνεργείᾳ νοῦν ἓν εἶναι, ὥσπερ προείρηκεν, ὅτι τὸ ἐνεργείᾳ αἰσθητὸν καὶ ἡ ἐνεργείᾳ αἴσθησις ἕν ἐστιν. Ἔστι δέ τι νοητὸν ἐνεργείᾳ διὰ τὸ ἀφαιρεῖσθαι τῆς ὕλης. Ὡς γὰρ ἀνωτέρω ἔλεγεν, ὡς ἔχουσι τὰ χωριστὰ τῆς ὕλης, οὕτως εἰσὶ καὶ τὰ περὶ τὸν νοῦν. Καὶ διὰ τοῦτο φησὶν ὅτι ἐν τοῖς ἄνευ ὕλης, τουτέστιν ἐὰν λάβωμεν νοητὰ ἐνεργείᾳ, τὸ αὐτό ἐστι νοοῦν καὶ νοούμενον, ὥσπερ ταὐτόν ἐστιν ἐνεργείᾳ αἰσθανόμενον καὶ ἐνεργείᾳ αἰσθητόν. Αὐτὴ γὰρ ἡ θεωρητικὴ ἐπιστήμη ταὐτόν ἐστι καὶ τὸ οὕτως ἐπιστητόν, καὶ τὸ ἐνεργείᾳ ἐπιστητόν ἐστι τὸ εἶδος αὐτοῦ τοῦ νοηθέντος πράγματος· τὸ δὲ εἶδος τοῦ νοηθέντος πράγματος ἐνεργείᾳ ἐστὶ τὸ εἶδος τοῦ νοῦ, καὶ οὕτω δι' αὐτοῦ ἑαυτὸν νοεῖν δύναται. Ὅθεν καὶ ἀνωτέρω ὁ Φιλόσοφος δι' αὐτοῦ τοῦ νοεῖν καὶ διὰ τοῦ νοουμένου τὴν φύσιν | ἐξήτασε τοῦ δυνάμει νοῦ. Οὐ γὰρ γινώσκομεν τὸν ἡμέτερον νοῦν, f. 335v εἰ μὴ διὰ τοῦ νοεῖν ὅτι νοοῦμεν. Συμβαίνει δὲ τοῦτο τῷ δυνάμει νῷ, τὸ μὴ νοεῖν διὰ τῆς ἰδίας οὐσίας ἀλλὰ διὰ τοῦ νοητοῦ εἴδους, ἐκ τοῦ δυνάμει μόνον εἶναι αὐτῶν ἐν τῇ τάξει τῶν νοητῶν. Δείκνυσι γὰρ ὁ Φιλόσοφος ἐν τῷ [ἐνάτῳ] τῶν μετὰ τὰ φυσικά, ὅτι οὐδὲν νοεῖται εἰ μὴ καθό ἐστιν ἐνεργείᾳ. Καὶ δυνατόν ἐστιν ὅμοιον εὑρίσκειν κἂν τοῖς αἰσθητοῖς πράγμασι τὸ γὰρ δυνάμει μόνον ὑπάρχον ἐν αὐτοῖς, ἡ πρώτη δηλονότι ὕλη, οὐκ ἐνεργεῖ εἰ μὴ καθόσον δέχεται τὸ εἶδος, δι' οὗ εἰς τὴν ἐνέργειαν ἄγεται. Ἀλλὰ ἡ πρώτη ὕλη οὐκ ἔχει τινὰ ἐνέργειαν διὰ τῆς ἰδίας οὐσίας, ἀλλὰ μόνον διὰ τοῦ συνημμένου εἴδους αὐτῇ· αἱ δὲ αἰσθηταὶ οὐσίαι κατά τι μὲν ἐν δυνάμει, κατά τι δὲ ἐνεργείᾳ τυγχάνουσαι, καθ' ἑαυτὰς ἔχουσι τινὰ ἐνέργειαν. Ὡσαύτως καὶ ὁ δυνάμει νοῦς, ὅς ἐστι δυνάμει μόνον ἐν τῇ τάξει τῶν νοητῶν, οὔτε νοεῖ, οὔτε νοεῖται εἰ μὴ διὰ τοῦ εἴδους τοῦ ἐν αὐτῷ προσειλημμένου. Ὁ δὲ Θεός, ὅς ἐστιν ἐνέργεια καθαρὰ ἐν τῇ τάξει τῶν νοητῶν, καὶ αἱ ἄλλαι χωρισταὶ οὐσίαι, αἵτινες εἰσὶ μεταξὺ δυνάμεως καὶ ἐνεργείας, διὰ τῆς ἰδίας οὐσίας νοοῦσί τε καὶ νοοῦνται.

---

1-2 *συντεθεῖσθαι* om B 2 *ἵνα* ᾗ B 13 *τι* om B 28 *εἱρεῖν* B 37 *καὶ*: *ὡς* B

Εργ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

'Εφεξῆς λέγων· Τοῦ δὲ μὴ ἀεὶ νοεῖν, ἀποκρίνεται πρὸς τὴν εἰς τοὐναντίον ἀντίθεσιν λέγων ὡς, ἐπειδὴ ὁ δυνάμει νοῦς ἔχει τὸ ποιοῦν αὐτὸν νοητόν, ὥσπερ καὶ τὰ ἄλλα, λείπεται ἐπισκέψασθαι καὶ ἀποδοῦναι τὴν αἰτίαν, δι' ἣν οὐκ ἀεὶ τὸ νοητὸν νοεῖ. Καὶ ἡ αἰτία ἐστὶν αὕτη, ὅτι ἐν τοῖς πράγμασι τοῖς ἔχουσιν ὕλην τὸ εἶδος οὐκ ἔστι νοητὸν κατ' ἐνέργειαν, ἀλλὰ κατὰ δύναμιν μόνον· τὸ δὲ δυνάμει νοητὸν οὐκ ἔστι ταὐτὸν μετὰ τοῦ νοῦ, ἀλλὰ μόνον τὸ ἐνεργείᾳ νοητόν. Ὅθεν ἐν τοῖς ἔχουσιν εἶδος ἐν ὕλῃ οὐχ ὑπάρξει νοῦς, ὥστε δηλονότι νοεῖν δύνασθαι, διότι ὁ νοῦς τῶν τοιούτων, τουτέστι τῶν νοητῶν, δύναμίς τίς ἐστιν ὕλης χωρίς· τὸ δὲ ἐν τῇ ὕλῃ ὑπάρχον ἐστὶ νοητόν, ἀλλὰ δυνάμει μόνον· τὸ δὲ ἐν τῷ νῷ, ἔστιν εἶδος νοητὸν κατ' ἐνέργειαν.

## Leçon X.

'Επειδ' ὥσπερ. Διορισάμενος ὁ Φιλόσοφος περὶ τοῦ δυνάμει νοῦ, νῦν διορίζεται περὶ τοῦ ποιοῦντος νοῦ, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσιν εἶναι τὸν ποιοῦντα νοῦν ἄλλον παρὰ τὸν δυνάμει νοῦν καὶ λόγῳ καὶ παραδείγματι· δεύτερον, δείκνυσι τοῦ νοῦ τούτου τὴν φύσιν, ἐν τῷ· Καὶ οὗτος ὁ νοῦς. Τίθησι τοίνυν λόγον τοιοῦτον. 'Εν πάσῃ φύσει, τῇ ποτὲ μὲν οὔσῃ δυνάμει, ποτὲ δὲ ἐνεργείᾳ, δεῖ τιθέναι τι, ὅπερ ἐστὶν ὥσπερ ὕλη ἐν ἑκάστῳ γένει, ὅπερ δηλονότι ἐν δυνάμει ἐστὶ πρὸς πάντα τὰ τοῦ γένους ἐκείνου· καὶ ἄλλο, ὅπερ ἐστὶν ὥσπερ ποιητικὸν αἴτιον, ὅπερ οὕτως ἔχει ἐν τῷ ποιεῖν πάντα, ὡς ἡ τέχνη πρὸς τὴν ὕλην. 'Αλλ' ἡ ψυχὴ κατὰ τὴν νοερὰν δύναμιν ποτὲ μέν ἐστιν ἐν δυνάμει, ποτὲ δὲ κατ' ἐνέργειαν. 'Ανάγκη τοίνυν ἐν τῇ νοερᾷ ψυχῇ ταύτας εἶναι τὰς διαφοράς, ὥστ' εἶναι δηλονότι ἕνα μέν τινα νοῦν, ἐν ᾧ δυνατὸν πάντα νοητὰ γίνεσθαι, ὅς ἐστιν ὁ δυνάμει νοῦς, περὶ οὗ προελέγετο· ἕτερον δέ τινα νοῦν πρὸς τὸ δύνασθαι πάντα τὰ νοητὰ ποιεῖν ἐνεργείᾳ, ὃς καλεῖται νοῦς ποιῶν· καὶ ἔστιν αὐτὸς ὥσπερ ἕξις τις.

'Απὸ δὴ ταύτης τῆς λέξεως κινηθέντες τινές, ἔθεντο τὸν ποιοῦντα νοῦν τὸν αὐτὸν εἶναι τῷ νῷ, ὅς ἐστιν ἕξις τῶν ἀρχῶν, ὅπερ ἀδύνατον εἶναι διὰ τὸ τὸν νοῦν, ὅς ἐστιν ἕξις τῶν ἀρχῶν, προϋποτιθέναι εἴδη τινὰ ἐνεργείᾳ νοηθέντα, δηλονότι τοὺς τῶν ἀρχῶν ὅρους, ὧν διὰ τῆς νοήσεως νοοῦμεν καὶ γινώσκομεν τὰς ἀρχάς, καὶ οὕτως ἠκολούθησεν ἂν τὸν ποιοῦντα νοῦν μὴ ποιεῖν πάντα τὰ νοητὰ ἐνεργείᾳ, ὡς ἐνταῦθα φησὶν ὁ Φιλόσοφος. Δεῖ τοίνυν λέγειν, ὅτι ἡ ἕξις ἐνταῦθα λαμβάνεται καθὼς εἴωθε πολλάκις ὁ Φιλόσοφος ὀνομάζειν πᾶν εἶδος καὶ φύσιν ἅπασαν ἕξιν, καθὸ ἡ ἕξις ἀντιδιαιρεῖται τῇ στερήσει καὶ τῇ δυνάμει, ὡς καὶ ἐνταῦθα, ἕξιν ὀνομάζων τὸν νοῦν, διακρίνει αὐτὸν ἀπὸ τοῦ δυνάμει νοῦ. Ὅθεν

2 *ὡς*: *ὅτι* B    38 *ὅς ἐστι δυνάμει* après *νοῦ* add B

ΙΩΑΝΝΙΝΑ 2006

φησὶν εἶναι αὐτὸν ἕξιν, ὥσπερ τὸ φῶς, ὅπερ τρόπον τινὰ ποιεῖ τὰ δυνάμει ὄντα χρώματα ἐνεργείᾳ χρώματα εἶναι. Καί φησί· Τρόπον τινά, διὰ τὸ εἰρηκέναι ἀνωτέρω, ὅτι τὸ χρῶμα καθαυτὸ ἐστὶν ὁρατόν. Τούτῳ δὲ τῷ τρόπῳ ποιεῖ τὸ φῶς ἐνεργείᾳ εἶναι αὐτὸ χρῶμα, καθόσον ποιεῖ τὸ διαφανὲς ἐνεργείᾳ εἶναι, ὥστε δύνασθαι αὐτὸ κινεῖσθαι ὑπὸ τοῦ χρώματος, καὶ οὕτω τὸ χρῶμα φαίνεσθαι. Ὁ δὲ ποιῶν νοῦς ποιεῖ αὐτὰ τὰ νοητὰ ἐνεργείᾳ εἶναι, πρότερον ὄντα δυνάμει, διὰ τοῦ ἀφαιρεῖν αὐτὰ καὶ ἀφέλκειν τῆς ὕλης· οὕτω γὰρ εἰσὶν νοητὰ ἐνεργείᾳ, ὡς εἴρηται. Προάγεται δὲ ὁ Ἀριστοτέλης θεῖναι τὸν ποιοῦντα νοῦν, βουλόμενος ἀποκλεῖσαι τὴν δόξαν τοῦ Πλάτωνος, ὃς ὑπέθετο τὰς τῶν πραγμάτων οὐσίας εἴτουν ὀντότητας τῶν αἰσθητῶν κεχωρισμένας εἶναι τῆς ὕλης καὶ ἐνεργείᾳ νοητάς, ἀνθ' ὅτου οὐδ' ἀναγκαῖον ἦν ἐκείνῳ θεῖναι τινὰ νοῦν ποιοῦντα. Ἀλλὰ διότι ὁ Ἀριστοτέλης τίθησι τὰς | τῶν αἰσθητῶν πραγμάτων ὑπάρξεις καὶ ὀντότητας ἐν f. 336 τῇ ὕλῃ εἶναι, καὶ μὴ εἶναι νοητὰς ἐνεργείᾳ, ἐδέησεν αὐτῷ καὶ νοῦν τινα θεῖναι, ὃς ἀποσπῴη ἂν αὐτὰς καὶ ἀφέλκοι τῆς ὕλης, καὶ οὕτω ποιοίη αὐτὰς ἐνεργείᾳ νοητάς.

Ἐφεξῆς λέγων· Καὶ οὗτος ὁ νοῦς, τίθησι τέσσαράς τινας ἰδιότητας τοῦ ποιοῦντος νοῦ, ὧν πρώτη ἐστὶ τὸ χωριστὸν αὐτὸν εἶναι· δευτέρα, τὸ ἀπαθῆ· τρίτη, τὸ ἀμιγῆ, τουτέστι μὴ συγκείμενον ἐκ τῶν σωματικῶν φύσεων μηδὲ συνημμένον ὀργάνῳ σωματικῷ, καὶ ἐν τοῖς τρισὶ τούτοις συνέρχεται μετὰ τοῦ δυνάμει νοῦ. Τετάρτη δὲ ἰδιότης ἐστὶν αὐτοῦ τὸ ἐνεργείᾳ εἶναι κατὰ τὴν ἰδίαν οὐσίαν, κἂν τούτῳ διαφέρει τοῦ δυνάμει νοῦ, ὅς ἐστι κατὰ τὴν ἰδίαν οὐσίαν ἐν δυνάμει, ἀλλ' ἔστιν ἐνεργείᾳ μόνον κατὰ τὸ προσληφθὲν εἶδος. Καὶ πρὸς ἀπόδειξιν τῶν τεσσάρων τούτων παρακολουθημάτων εἰσάγει λόγον τινὰ τοιοῦτον. Τὸ ποιοῦν ἐστὶ τιμιώτερον τοῦ πάσχοντος, καὶ ἡ ποιητικὴ ἀρχή, τῆς ὕλης. Ἀλλ' ὁ ποιῶν νοῦς παραβάλλεται πρὸς τὸν δυνάμει νοῦν ὡς τὸ ποιοῦν πρὸς τὴν ὕλην, ὡς εἴρηται. Ὁ ποιῶν ἄρα νοῦς ἐστὶν εὐγενέστερος καὶ τιμιώτερος τοῦ δυνάμει νοῦ. Ἀλλὰ ὁ δυνάμει νοῦς ἐστὶ χωριστὸς καὶ ἀμιγὴς καὶ ἀπαθής, ὡς προείρηται. Πολλῷ ἄρα μᾶλλον ὁ ποιῶν νοῦς τοιοῦτος ἐστίν. Ἐξ οὗ δῆλόν ἐστι καὶ ὅτι κατὰ τὴν ἰδίαν οὐσίαν ἐνεργείᾳ ἐστίν, διότι τὸ ποιοῦν οὐκ ἔστι τιμιώτερον τοῦ πάσχοντος καὶ τῆς ὕλης, εἰ μὴ καθό ἐστιν ἐνεργείᾳ.

Τῇ προφάσει δὲ τῶν ἐνταῦθα λεγομένων τινὲς ἔθεντο τὸν ποιοῦντα νοῦν οὐσίαν εἶναι κεχωρισμένην καὶ διαφέρειν αὐτὸν κατ' οὐσίαν τοῦ δυνάμει νοῦ· τοῦτο δὲ οὐκ ἀληθὲς εἶναι δοκεῖ. Οὐ γὰρ ἂν ἀρκούντως ἦν ὁ ἄνθρωπος ὑπὸ τῆς φύσεως συνεστώς, εἰ μὴ εἶχεν ἐν ἑαυτῷ ἀρχάς, αἷς δύναιτ' ἂν τὴν ἰδίαν ἐνέργειαν ἐκπληροῦν, ἥ ἐστι τὸ νοεῖν, ἥντινα δὴ

---

31 καὶ om B

Ε.Υ.Δ τ.Φ.Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐνέργειαν ἐκπληροῦσθαι ἀδύνατον εἰ μὴ διὰ τοῦ δυνάμει νοῦ καὶ τοῦ ποιοῦντος νοῦ. Ὅθεν ἡ τελειότης τῆς ἀνθρωπίνης φύσεως ἀπαιτεῖ ἑκάτερον αὐτῶν εἶναί τι ἐν τῷ ἀνθρώπῳ. Ὁρῶμεν δὲ καὶ ὅτι, καθὼς ἡ ἐνέργεια τοῦ δυνάμει νοῦ, ἥτις ἐστὶ τὸ δέχεσθαι τὰ νοητά, ἀποδίδοται τῷ ἀνθρώπῳ, οὕτω καὶ ἡ ἐνέργεια τοῦ ποιοῦντος νοῦ, ἥτις ἐστὶ τὸ ἀποσπᾶν καὶ ἀφέλκειν τὰ νοητά. Τοῦτο δὲ οὐκ ἂν ἠδύνατο εἶναι, εἰ μὴ ἡ εἰδικὴ ἀρχὴ τῆς τοιαύτης ἐνεργείας ἦν αὐτῇ συνημμένη κατὰ τὸ εἶναι. Οὐδὲ ἀρκεῖ πρὸς τὴν ἐνέργειαν ταύτην ἀποδίδοσθαι τῷ ἀνθρώπῳ τὸ τὰ νοητὰ εἴδη, τὰ γενόμενα διὰ τοῦ ποιοῦντος νοῦ, ἔχειν ὡς ὑποκείμενον τρόπῳ τινὶ τὰ φαντάσματα ἐν ἡμῖν ὄντα, διότι περὶ τοῦ δυνάμει νοῦ πραγματευόμενοι πρότερον ἐλέγομεν τὰ εἴδη μὴ εἶναι νοητὰ ἐνεργείᾳ, εἰ μὴ καθὸ εἰσὶν ἀπεσπασμένα τῶν φαντασμάτων· καὶ οὕτως αὐτῶν μεσιτευόντων ἀδύνατον ἂν εἴη τὴν τοῦ ποιοῦντος νοῦ ἐνέργειαν ἡμῖν ἀποδίδοσθαι. Καὶ διὰ ταῦτα ὁ ποιῶν νοῦς παραβάλλεται πρὸς τὰ ἐνεργείᾳ νοητὰ εἴδη, ὡς ἡ τέχνη πρὸς τὰ εἴδη τῶν τεχνητῶν· δι' ὧν φανερόν ἐστι μὴ ἔχειν τὰ τεχνητὰ τὴν τῆς τέχνης ἐνέργειαν. Ὅθεν καὶ δοθέντος τὰ εἴδη τὰ γενόμενα ἐνεργείᾳ νοητὰ ἐν ἡμῖν εἶναι, οὐκ ἂν ἠκολούθησεν ἡμᾶς δύνασθαι ἔχειν τὴν ἐνέργειαν τοῦ ποιοῦντος νοῦ. Ἔστι δὲ καὶ ἀπ' ἐναντίας τῷ τοῦ Ἀριστοτέλους σκοπῷ ἡ προειρημένη θέσις, ἐναργῶς λέγοντος ἐν τῇ ψυχῇ εἶναι ταύτας τὰς δύο διαφοράς, δηλονότι τόν τε ποιοῦντα νοῦν καὶ τὸν δυνάμει, ἐξ οὗ δίδωσι φανερώτατα νοεῖν, ὡς ἄρα αἱ δύο αὗται διαφοραὶ μέρη εἰσὶν ἢ δυνάμεις τῆς ψυχῆς, καὶ μὴ οὐσίαι κεχωρισμέναι. Ἀλλὰ τὸ μάλιστα δοκοῦν ἀντικεῖσθαι τῷ λεγομένῳ τοῦτ' ἔστιν, ὅτι ὁ δυνάμει νοῦς παραβάλλεται πρὸς τὰ νοητὰ ὡς δυνάμει ὑπάρχων πρὸς αὐτά· ὁ δὲ ποιῶν νοῦς παραβάλλεται πρὸς ταῦτα ὡς ἐνεργείᾳ ὤν· ἀδύνατον δὲ δοκεῖ τὸ αὐτὸ πρὸς τὸ αὐτὸ παραβάλλεσθαι οὕτως, ὥστε καὶ δυνάμει εἶναι, καὶ ἐνεργείᾳ. Ὅθεν οὐ δοκεῖ τὸν ποιοῦντα νοῦν καὶ τὸν δυνάμει νοῦν δύνασθαι συνέρχεσθαι ἐν μιᾷ οὐσίᾳ τῇ τῆς ψυχῆς. Ἀλλὰ τοῦτο ἐκ προχείρου λύεται, ἐάν τις ὀρθῶς θεωρήσῃ πῶς τε ὁ δυνάμει νοῦς ἐν δυνάμει ἐστὶ πρὸς τὰ νοητά, καὶ πῶς τὰ νοητά εἰσιν ἐν δυνάμει πρὸς τὸν ποιοῦντα νοῦν. Ἔστι γὰρ ὁ δυνάμει νοῦς ἐν δυνάμει πρός γε τὰ νοητά, ὥσπερ τὸ ἀδιόριστον πρὸς τὰ διωρισμένα· ὁ γὰρ δυνάμει νοῦς οὐκ ἔχει διωρισμένως φύσιν τινὸς τῶν αἰσθητῶν πραγμάτων, ἕκαστον δὲ νοητόν ἐστι φύσις τις διωρισμένη τινὸς εἴδους. Ὅθεν καὶ προείρηκε τὸν δυνάμει νοῦν πρὸς τὰ νοητὰ παραβάλλεσθαι, ὥσπερ γραμματεῖόν τι εἴτουν πίνακα πρὸς διωρισμένας γραφάς. Ὅσον δὲ πρὸς τοῦτο, εἴπερ ὁ ποιῶν νοῦς εἶχεν ἐν ἑαυτῷ τὸν τῶν νοητῶν ἁπάντων διορισμόν, οὐκ ἂν ὁ δυνάμει νοῦς ἐδεῖτο τῶν φαντασμάτων, ἀλλὰ διὰ
f. 336 v μόνου τοῦ ποιοῦντος νοῦ ἀνήγετο ἂν εἰς τὴν ἐνέργειαν πάντων | τῶν νοητῶν,

28 τῇ om B 29 εἰ avant τε add B 32 διωρισμένως: διορίζειν en marge A

ΙΩΑΝΝΙΝΑ 2006